*Ἄφιδνά τε ὑπὸ Διοσκούρων ἑάλω καὶ ἤγετο ἐς Λακεδαίμονα Ἑλένη. ἔχειν μὲν γὰρ αὐτὴν λέγουσιν ἐν γαστρί, τεκοῦσαν δὲ ἐν Ἄργει καὶ τῆς Εἰληθυίας ἱδρυσαμένην τὸ ἱερὸν τὴν μὲν παῖδα ἣν ἔτεκε Κλυταιμνήστραι δοῦναι, συνοικεῖν γὰρ ἤδη Κλυταιμνήστραν Ἀγαμέμνονι, αὐτὴν δὲ ὕστερον τούτων Μενελάωι γήμασθαι. καὶ ἐπὶ τῶιδε Εὐφορίων Χαλκιδεὺς* (fr. 90 Powell) *καὶ Πλευρώνιος Ἀλέξανδρος* (fr. 2 Mein.) *ἔπη ποιήσαντες, πρότερον δὲ ἔτι Στησίχορος ὁ Ἱμεραῖος, κατὰ ταὐτά φασιν Ἀργείοις Θησέως εἶναι θυγατέρα Ἰφιγένειαν.*

## *ΕΛΕΝΑ: ΠΑΛΙΝΩΙΔΙΑ*

### 62 (32 B., II D.)

[192] *οὐκ ἔστ' ἔτυμος λόγος οὗτος,*
*οὐδ' ἔβας ἐν νηυσὶν εὐσέλμοις*
*οὐδ' ἵκεο πέργαμα Τροίας.*